# TEZAUR LITURGIC

## 4 MARTIE

## FILUMEN ROUMNIS

# SLUJBA

# SOBORULUI

# SF.CUVIOŞI-MUCENICI

# UCIŞI DE PERŞI

## DE LA

## MĂNĂSTIREA

## SF.GHERASIM DE LA IORDAN

**ATENA,2020**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# Ἀκολουθία

# ΟΣΙΟΜΑΡΤΥΡΩΝ ΙΟΡΔΑΝΙΤΩΝ

**Ποίημα Ἐμμ. Ρούμπη (ἀρχ. Φιλουμένου)**

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακὸν ψάλλομεν τὴν α΄ στάσιν τοῦ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε, ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Πατέρες ἐν Λαύρᾳ τοῦ σεπτοῦ Γερασίμου ἤχθησαν, ἐκ πάσης χώρας συνδούμενοι ἀγάπῃ Πνεύματος· δόξης ἐπικήρου οἱ καταφρονήσαντες καὶ συναπεκδυσάμενοι ἄνθρωπον τὸν παλαιόν, ὁμοῦ ἐνεδύθησαν τὴν ἄφθαρτον μαρτυρίου στολὴν ἀχειρότευκτον.

Χριστοῦ πυρπολούμενοι ψυχαῖς πόθῳ οἱ πολύαθλοι τὰς ἡδονὰς κατεφρόνησαν, ὄντως ὑπέρτεροι πάσης προσπαθείας καὶ φθαρτῶν γενόμενοι· διὸ ἐν οὐρανοῖς τὸ πολίτευμα αὐτῶν εὑρίσκεται καὶ ζωῆς τοῦ ξύλου σύμφυτοι γεγονότες, Χριστὸν ἱκετεύουσι.

Στρατὸς θεσύλλεκτος ἡμῖν συνεκλάμπει σήμερον καὶ καταυγάζει τὰ πέρατα ἀκτῖσι χάριτος, οἱ ἀναιρεθέντες ὑπ’ ἀνόμων ἄλλοτε καὶ ἄφθαρτα βραβεῖα μιᾷ ῥοπῇ οἱ ἀπολάβοντες· τὸν Χριστὸν οὖν ἱκετεύουσιν δοῦναι πᾶσι ἔλεος καὶ λύτρωσιν.

Ἕτερα. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Κοσμικῆς ἐκ συγχύσεως ἐξεφύγετε τήλιστα καὶ τὴν ἡσυχίαν σφοδρῶς ἠράσθητε· διὸ ἐρήμου οἰκήτορες συμφώνως γεγόνατε καὶ τῷ πόθῳ τοῦ Χριστοῦ ταῖς καρδίαις ἐτρώθητε, Ὁσιόαθλοι, καὶ Μαρτύρων ζηλώσαντες τοὺς ἄθλους ἠξιώθητε καὶ τέλους τοῦ μακαρίου τυχεῖν αὐτῶν.

Περσικὴν ἱταμότητα εὐθαρσῶς ἀπηλέγξατε τῷ πικρῷ θανάτῳ ὑμῶν, μακάριοι, καὶ ὥσπερ ἔλλογα θύματα Χριστῷ προσηνέχθητε εὐωδίαν ἀρετῶν καὶ θυμίαμα χάριτος ἀποπνέοντα· διὸ πάντες τοὺς πίστει προσιόντας τοῖς σεπτοῖς ὑμῶν λειψάνοις ῥῶσιν τ’ ὑγείαν παρέχετε.

Πολιτείαν ἰσάγγελον καὶ ζωὴν τῆς ἀσκήσεως μαρτυρίου τρίβον οἱ μεταλλάξαντες καὶ ἀπηνείᾳ τοῦ δράκοντος φρικτῶς θανατούμενοι καὶ ὀδύνας τὰς φρικτὰς ὑποστάντες τῆς ἄνωθεν ἠξιώθητε βασιλείας, τρισόλβιοι Πατέρες, ἔνθα ἅμα Γερασίμῳ τῷ θεοφόρῳ συγχαίρετε.

Δόξα. Ἦχος πλ. β΄.

Ὅσιοι Πατέρες, ἡγησάμενοι σκύβαλα τὰ τερπνὰ, πρὸς τὴν Λαύραν Γερασίμου τοῦ Ἰορδανίτου προσήλθετε ἐν ἀσκήσει, προσευχῇ καὶ νηστείᾳ τὸν βίον διάγοντες καὶ τηροῦντες τὰ ὑπεσχήμενα· ὡς δῶρον δ’ εὔγνωμον διὰ τὸν ἀῤῥαβῶνα τοῦ ἁγίου Σχήματος, προσηγάγετε ὑμῶν τὰ αἵματα· καὶ νῦν θεώμενοι τὴν δόξαν τοῦ Σωτῆρος, ἱκετεύετε ὑπὲρ τῶν πίστει τελούντων τὴν μνήμην ὑμῶν.

Καὶ νῦν. Ὁ αὐτός.
Τίς μὴ μακαρίσει Σε...

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας καί Αναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα(Κεφ.ΜΓ'9-14)

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα; Ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν Θεὸς ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ' ἀρχῆς ἐγώ εἰμι καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος τοῦ Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. Γ' 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ

ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμ
## (Κεφ.Ε΄15 ΣΤ΄3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν παρὰ Ὑψίστου. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρῖσιν ἀνυπόκριτον˙ λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα˙ ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν˙ συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς

παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν ΛΙΤΗΝ. Ἰδιόμελα. Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ μάνδρα τοῦ Ἰορδάνου, ἐκ σοῦ γὰρ ἀνέτειλε ὁ φωστὴρ ὁ παμφαὴς Γεράσιμος ὁ τρισμέγιστος, ὁ τῶν λεόντων τροφεὺς καὶ τῶν ἐν πνεύματι λεοντίῳ ὁδηγός· ἀγάλλου καὶ χόρευε πορφύραν ἐνδεδυμένη, τὴν βαφεῖσαν τοῖς αἵμασι σῶν τέκνων καὶ μαργαρίτας κεκοσμημένη, Ἀναιρεθέντας Πατέρας, οὓς προσάγαγε ὡς πρέσβεις Χριστῷ τῷ Θεῷ.

Ἦχος γ΄.

Ὡς θησαυρὸν ἀληθῶς κεκτημένος, κῆπος τῆς Ἐδὲμ τὰς ψυχὰς ὑμῶν ἀγάλλεται καὶ χαίρει, γάννυται δὲ Λαύρα Ἰορδάνου, κατέχουσα τὰ σεπτὰ καὶ εὐῴδη ὑμῶν λέιψανα, τὰ χρυσίου λαμπρότερα καὶ λίθων ὄντως τιμίων τιμιώτερα, ἡμεῖς δὲ καυχόμεθα ἔχοντες ὑμᾶς ὡς θείους πρέσβεις.

Δόξα. Ἦχος β΄.

Οἱ τὸ ταπεινὸν τριβώνιον εἰς βασιλικὴν ἁλουργίδα καλλωπίσαντες, σεπτοὶ Ὁσιομάρτυρες, τοῖς πανάγνοις αἵμασιν αὐτῶν, ἃ μανίᾳ ἀνόμων ἐξέχυσαν, περιφρουροῦσιν τοὺς πιστοὺς, τοὺς μετ᾽ εὐλαβείας αὐτῶν τὴν θήκην τῶν λειψάνων προσψαύοντας καὶ ἱκετεύουσιν, ὅπως δοθείη αὐτοῖς πταισμάτων ἡ λύτρωσις.

Δόξα. Ἦχος ὁ αὐτός. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων...

Εἰς τὰ Ἀπόστιχα. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις, Ὁσιοάθλων χορός, τῆς Ἐκκλησίας ἀδιάσειστον ἔρεισμα, κειμήλια εὐσεβείας, τῆς ἐγκρατείας φανοί, μυροθῆκαι θεῖαι τῆς ἀσκήσεως, ἀγάπης ἀδάμαντες, καὶ ὑάκινθοι πίστεως, οἱ στρατιῶται τῆς Χριστοῦ παρατάξεως, τὸ μαρτύριον καρτερῶς ὑπομείναντες· Λαύραν γὰρ Ἰορδάνιον φαιδρῶς ἐλαμπρύνατε, ἀσκητικοῖς ὑμῶν πόνοις καὶ τῇ ἐκχύσει τοῦ αἵματος· Τριάδι αἰτεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στ. *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Χαίροις, Ὁσιοάθλων χορός, οἱ ἐν ἀσκήσει καὶ ἱδρῶσιν οἰκήσαντες τὴν ἔρημον Ἰορδάνου, εὐαρεστοῦντες Θεῷ, βιασταὶ τῶν ἄνω καρτερώτατοι, τὴν βίαν καὶ ἄσκησιν τῆς σαρκὸς μετηλλάξατε, τοῖς

μαρτυρίοις καὶ μελῶν ἐξαρθρώσεσιν, ἀναιρέσει δὲ τῆς ζωῆς ὑμῶν, Ἅγιοι· ὅθεν καὶ πρὸς οὐράνια σκηνώματα χαίροντες, ὁμοῦ μετέστητε πάντες καὶ Ἀσωμάτοις συνᾴδετε, Χριστῷ τῷ Σωτῆρι, τῷ εὐχαῖς ὑμῶν διδόντι ἡμῖν τὸ ἔλεος.

Στ. *Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν, ἐξανθήσει.*

Χαίροι ἡ Ἐκκλησία Χριστοῦ, λαμπρυνομένη ὑακίνθοις τ᾽ ἰρίτισιν, Ἀββάδων Ὁσιοάθλων περιφημίζουσα νῦν, φωταυγῶς χορείαν ἀπαστράπτουσαν, τὴν ὄντως πολίσασαν Ἰορδάνου τὰ πέρατα καὶ ὁμοψύχως πρὸς Θεὸν ἐνδημήσασαν καὶ εἰς εὔφορον γεωργήσασαν ἔρημον, δάκρυσι κατανύξεως, ἱδρῶσιν ἀσκήσεως καὶ τῇ ἐκχύσει αἱμάτων ὑπὲρ Χριστοῦ, Ὃν ἐπόθησεν· καὶ νῦν ἱκετεύει ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Τῶν Μοναστῶν τὰ πλήθη καὶ φιλομαρτύρων χορεῖαι συνέρχονται σήμερον καὶ συμφώνως τὴν μνήμην ὑμῶν τὴν ἁγίαν τιμῶσιν ἐν ᾄσμασιν· αἰνοῦντες ὑμᾶς, Ὁσιομαρτύρων ὁμηγύρει ἀξίως χορεύοντας, Ἀγγέλων συνόμιλοι, Μαρτύρων ὁμότροποι καὶ Δικαίων, μεθ᾽ ὧν πρεσβεύετε Κυρίῳ ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις, Τρισάγιον καί Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν Συνάναρχον Λόγον.

Ὥσπερ ὄασιν, Μάρτυρες Ὁσιόαθλοι, Ἰορδάνου τὴν ἔρημον γεωργήσαντες, Γερασίμου ἐν Μονῇ στέφη ἄφθορα, τῆς ἀσκήσεως ὁμοῦ καὶ μαρτυρίου τοῦ φρικτοῦ εἰλήφασιν ἐκ τοῦ μόνου Ἀγωνοθέτου· Ὃν ἄρτι ὑπὲρ ἡμῶν καθικετεύουσιν.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος πλ. γ΄. Τὴν ὡραιότητα.

Βίον ἰσάγγελον πολιτευσάμενοι, τὴν ματαιότητα κόσμου ἐφύγατε καὶ Γερασίμου τοῦ κλεινοῦ ᾠκήσατε, ἀθλοφόροι, Λαύραν Ἰορδάνιον ἔνθα μήνει ἀλάστορος, κάρας ἀπετμήθητε, ὑμῶν αἷμα ἐκχέοντες· καὶ νῦν πρὸς τὸν Χριστὸν παῤῥησίᾳ, αἰτεῖτε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὸ τῆς ἁγνότητος θεῖον κειμήλιον καὶ ἁγιότητος σκεῦος πολύτιμον, τὴν ἐν γαστρὶ τὸν Ποιητὴν βαστάσασαν ὑπὲρ λόγον, δεῦτε ἀνυμνήσωμεν, ὡς ζωῆς ἡμῶν Ἄνασσαν, κόσμου δὲ τὴν σώτειρα καὶ ἐχθροῦ τὴν ὀλέτειρα, πρὸς ἣν ἀναβοήσωμεν πίστει· Χαῖρε, ἡ Κεχαριτωμένη.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἰορδάνου ποταμοῦ ῥεῖθρα ἡγίασε Σωτὴρ, Βαπτισμῷ ἑκὼν λαβὼν, ὑπὸ Προδρόμου τοῦ κλεινοῦ,

τῆς δὲ ἐρήμου ἡ ψάμμος ηὐλόγηται αἵμασιν ὑμῶν, Ὁσιόαθλοι, ἅτινα φαιδρῶς, ὡς σεπτὴν προσφορὰν, τῷ Λυτρωτῇ ἐνέγκατε συμφώνως, πρὸς Ὃν γοργῶς ἐπετάννυσθε καὶ δυσωπεῖτε ἡμῖν δοθῆναι πταισμάτων λύσις καὶ ἔλεος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ἡ πανάσπιλος ἀμνὰς καὶ Θεοτόκος ἀληθῶς, ὑπὲρ φύσιν γαλουχεῖ παντὸς τοῦ κόσμου Ποιητὴν καὶ ἐν ἀγκάλαις βαστάζει τὸν Κύριον· δεῦτε οὖν ἡμεῖς προσκυνήσωμεν Ταύτην, ὡς βροτῶν ἀγαλλίαμα καὶ ὡς ζωῆς αἰτίαν, βοῶντες ἀκαταπαύστως μεγάλῃ φωνῇ· Παρθένε, σῷζε τῇ Σῇ δυνάμει τοὺς προσφυγόντας τῇ σκέπῃ Σου.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Οὐρανίοις τάγμασιν καταταγέντες, τοῦ Κυρίου πρόσωπον νῦν καθορᾶτε αὐτοψεὶ καὶ τὴν ὑμῶν χάριν νέμετε τοῖς προσκυνοῦσιν ὑμῶν θεῖα λείψανα.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὴν ψυχήν μου πρόφθασον, Εὐλογημένη, καὶ βυθοῦ ἀνάγαγε τῶν χαμαιζήλων μου παθῶν εἰς Σὲ ἐλπίζω, ὁ δοῦλός Σου, τὴν σωτηρίαν ἡμῶν καὶ προστάτιδα.

Οἱ Ἀναβαθμοί. Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ Ἤχου.

Προκείμενον· *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Εὐαγγέλιον, ζὴτει τῇ Παρασκευῇ τῆς ζ' ἑβδομάδος τοῦ Λουκᾶ.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· οὐδὲν συγκεκαλυμμένον ἐστίν...

Ὁ Ν' Ψαλμός.

Δόξα. Ταῖς τῶν ἀθλοφόρων..

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος β'. Στ. *Ἐλέησόν με ὁ Θεός...*

Τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτὸ, τερπνότερον τοῦ κόσμου ἡδονῶν λογισάμενοι, Ὅσιοι, ἐν τῇ Λαύρᾳ Γερασίμου συνήλθετε καὶ ἐξ αὐτῆς πρὸς οὐρανῶν μετετέθητε, Περσικῇ βαρβαρότητι· καὶ νῦν ὡς παῤῥησίαν κεκτημένοι, Χριστὸν ἱκετεύετε ὑπὲρ τῶν τιμώντων ὑμᾶς.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου, οὗ ἡ ἀκροστοιχίς: *Ἀββάδας Ὁσιοάθλους ἄξιον εὐφημέειν. Ἐ*(μμανουήλ).

Ὠδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Ἀνοίξω τὸ στόμα μου καὶ εὐλαβῶς τοῖς θεόφροσι Πατράσιν νῦν ἄρξομαι φθέγγεσθαι ᾄσματα, τῆς σαρκὸς αὐτῶν τοὺς πόνους ἀνυμνοῦντα καὶ τέλος οὐράνιον εὐδαιμονίζοντα.

Βαφαῖς τὸ οὐράνιον καὶ θεῖον σχῆμα ἐνέβαψαν αἱμάτων οἱ πάνσεπτοι Ὁσιομάρτυρες, οἱ τὴν ἔρημον

καὶ Λαύραν Γερασίμου σεπτοῦ οἱ πολίσαντες, Πατέρες ἔνδοξοι.

Βαρβάρων τὴν ἔφοδον οὐκ ἐπτοήθησαν, Ὅσιοι τῆς Λαύρας οἰκήτορες, οἱ θεοφώτιστοι, ἀλλ᾽ ἀνδρείᾳ τε καὶ ζήλῳ πρὸς βασάνους φρικτὰς φαιδρυνόμενοι πίστει συνέσπευδον.

Θεοτοκίον.

Ἀσπόρου συλλήψεως καρπὸν Πανάγιον τέτοκας, Υἱόν Σου καὶ Κύριον, ἄναρχον Λόγον Πατρός· Ὃν, Ἀνύμφευτε, ἀπαύστως ἱκετεύεις ὑπὲρ τῶν ἀντίληψιν ἐπιζητούντων Σου.

Ὠδὴ γ΄. Τοὺς Σοὺς ὑμνολόγους.

Δεσμούμενοι πίστεως τῷ τρόπῳ, Ἀββάδες θεόφρονες, ὁμοῦ τὸν τρόπον τῆς ἀσκήσεως, ἀθλήσει μετηλλάξατε καὶ αἰωνίου τέρψεως συγκληρονόμοι γεγόνατε.

Ἀγάπῃ Χριστοῦ ὀχυρωθέντες, βαρβάρων Περσῶν ἐπιδρομὴν οὐδόλως ἐφοβήθητε, ἀλλὰ χαρᾷ ἐλόμενοι, ἀθλητικὰ πρὸς σκάμματα τῆς ἄνω δόξης ἐτύχετε.

Σταυρὸν ὑμῶν αἴροντες ἐπ᾽ ὤμων, ὀπίσω ἐδράμετε Χριστοῦ καὶ Τούτῳ συνεσταύρωσθε, Ἀββάδες Ὁσιόαθλοι, διὸ ὑμῶν τὰ λείψανα βρύει ἀφθόνως ἰάματα.

Θεοτοκίον.

Ὁλκὰς τῶν σωθῆναι βουλομένων, ὁδήγησον γένος τῶν βροτῶν, ἐπὶ ὁδὸν ἀπάγουσαν πρὸς σωτηρίαν,

Ἄχραντε, καὶ τοῦ ἐχθροῦ τὰ θήρατρα τῇ Σῇ δυνάμει κατάστρεψον.

Κάθισμα. Ἦχος γʹ. Θείας πίστεως.

Ἔξω ζήσαντες, Πατέρες, κόσμου, ᾠκειώθητε τοῖς οὐρανίοις καὶ ὡς γῆ καλὴ καὶ πίουσα στάχυας τοὺς καλλικάρπους ἐκαρποφορήσατε καὶ εἰς βασάνους τὴν σάρκα ἐθέσατε· οὕτως Ἅγιοι ψυχὰς ἡμῶν ἀνεπέμψατε πρὸς πόλον, συστοιχία πολυθαύμαστε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Μέγα ἔρεισμα τῆς σωφροσύνης, βάσις ἄσειστος ἡ τῆς ἁγνείας, παρθενίας τὸ εὐῶδες θυμίαμα, τὴν Θεοτόκον Μαρίαν ὑμνήσωμεν, τὸν ἀρχηγὸν τῆς Ζωῆς τὴν κυήσασαν· χαίροις, κράζοντες, Παρθένε Θεοχαρίτωτε, ἐλπὶς Χριστιανῶν καὶ περιτείχισμα.

Ὠδὴ δʹ. Ὁ καθήμενος ἐν δόξῃ.

Συντριβόμενοι ταῖς κάραις μεληδὸν συγκοπτόμενοι, συσφαγιασθέντες Λαύραν τὴν ὑμῶν ἀνεδείξατε θυσιαστήριον θεῖον καὶ πανίερον καὶ τοῦ Πνεύματος κατοικητήριον ἄριστον.

Ἱερῶν ὑμῶν αἱμάτων τῇ προσχύσει, ἰσάγγελοι, Λαύραν Γερασίμου τὴν ἐν Ἰορδάνῃ ἀστράπτουσαν τῷ φωτισμῷ Παρακλήτου ἀνεδείξατε, Ὁσιόαθλοι, ἡμῶν ἱκέται πρὸς Κύριον.

Ὁλοκαύτωμα Τριάδι προσηνέχθητε εὔοσμον καὶ ἐχθροῦ μανίαν, γνώμῃ στεῤῥοτάτῃ καθείλετε καὶ πρὸς

οὐράνιον δόξαν μετετέθητε εὐφραινόμενοι, σὺν Ἀσωμάτοις Δυνάμεσιν.

Θεοτοκίον.

Ἀχλυώδους τυραννίδος τοῦ ἐχθροῦ ῥύσαι, Δέσποινα, τοὺς ὑπὸ τὴν σκέπην μητρικῶν πτερύγων Σου σπεύδοντας καὶ Θεοτόκον κυρίως ὀνομάζοντας καὶ θαυμάζοντας τῶν δωρεῶν Σου τὸ πέλαγος.

ᾨδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Θλιβόμενοι σήμερον καὶ ἄλγοντες ἐπαύριον, ἐν τῷ οὐρανῷ συνευφρανθῶμεν, ἔλεγον ὅτε Περσῶν ἀνόμων πληθὺς ἐπ᾽ αὐτοὺς ἐπέπεσεν σφοδρῶς οἱ Ὁσιομάρτυρες, Ἰορδάνου οἰκήτορες.

Λυσσώδεις ἀλάστορες, ξιφήρεις ἐπαΐσσοντες, τοῖς ἁγιολέκτοις Λόγου ἄρναις, πυγμαῖς καὶ σπάθεσιν ἐθανάτωσαν, ἔπειτα ἀνέδειξαν ὑμᾶς τῆς ἀλήκτου τέρψεως κληρονόμους, θεόθυτοι.

Ὁσίων συμμέτοχοι, Μαρτύρων ἰσοστάσιοι ὤφθητε, Πατέρες θεοφόροι, πρῶτον τηροῦντες ἀσκητικὴν ἀγωγὴν εἶτε δὲ γευσάμενοι σφαγὴν καὶ κατεπειγόμενοι πρὸς ζωὴν τὴν αἰώνιον.

Θεοτοκίον.

Ὑπέρλαμπρε Δέσποινα, μαὐγαῖς ταῖς τῶν χαρίτων Σου, τὰ ἐν ἁμαρτίαις σκοτισθέντα ψυχὴν καὶ νοῦν μου Σὺ καταλάμπρυνον, Μήτηρ γὰρ φωτὸς τοῦ τῆς ζωῆς, πέλεις, Ἀπειρόγαμε, καὶ ἡμῶν ἡ βοήθεια.

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Στοιχοῦντες, τάγμα πολύαθλον, τὸν Θρόνον τοῦ Δεσπότου οὐ παύεσθε ὑπὲρ τῶν ἄθλησιν ὑμῶν τιμώντων ἑκάστοτε ἐκδυσωπεῖν δοθῆναι τὸ μέγα ἔλεος.

Ἀγγέλων βίον ἐν σώματι μετήλθετε, Ἀββάδες πολύαθλοι, ὅτε ἡ ἄνομος Περσῶν ἐνέσκυψε φάλαγγα· διὸ ὑμῶν παλαίσματα μακαρίζομεν.

Ξηρὸν ἐρήμου καὶ ἀγονον ἠρδεύσατε δακρύων τοῖς νάμασιν Ὁσιομάρτυρες καὶ ὡς στρατὸς θεοσύλλεκτος μαρτυρικῷ τῷ τέλει συνεξελλάμψατε.

Θεοτοκίον.

Ἱκέτης πόθῳ προσέρχομαι τῇ θείᾳ Σου εἰκόνι, Πανάχραντε, καὶ κατασπάζομαι σεπτῆς μορφῆς Σου τὸ ἔκτυπον, ἐπιζητῶν πταισμάτων μου ἀπολύτρωσιν.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Τοῦ Παραδείσου ἄνθη εὔοσμα τιμήσωμεν καὶ Παρακλήτου σκεύη τίμια ὑμνήσωμεν, θείας Λαύρας Γερασίμου Ἰορδανίτου τοὺς Ἀββάδας, οἳ ποικίλοις τρόποις ἤθλησαν καὶ Περσῶν ἐπιδρομῇ συνανῃρέθησαν, πρὸς οὓς κράξωμεν· χαίροις, Ἅγιον σύστημα.

Ὁ Οἶκος.

Ἄγγελοι ἐν τῷ βίῳ καὶ ὡς ἄσαρκοι τρόπῳ, τὴν Λαύραν Ἰορδάνου κατῴκουν καὶ νοῦν πρὸς δυσεπίβατα ὕψη ὁμοῦ ἀνυψώσαντες, ἀσκητικῶς

ἔκλιναν ταῖς κεφαλαῖς τοῖς σπάθεσιν, διὸ ἡμεῖς βοῶμεν ταῦτα·

Χαίρετε, θεῖοι Χριστοῦ ὁπλῖται·
χαίρετε, πάντων ἡμῶν προστάται.
Χαίρετε, ὀρθῶν ἀπίστων τὰ θύματα·
χαίρετε, σεπτῆς ἐρήμου βλαστήματα.
Χαῖρε, ὅμιλε θεόλεκτε θεοφόρων ἀσκητῶν·
χαῖρε, σύλλογε θεσπέσιε Παραδείσου βιαστῶν.
Χαίρετε, τῶν Ἀγγέλων ἱεροὶ συμπολῖται·
χαίρετε, τῶν δαιμόνων τῆς μανίας ἐνστᾶται.
Χαίρετε, θύματα ἐλλογώτατα·
χαίρετε, κρίνα τὰ εὐῳδέστατα.
Χαίρετε, κάτοικοι οὐρανίων·
χαίρετε, σύσκηνοι τῶν Ἁγίων.
Χαίρετε, Ὅσιοι Μάρτυρες.

Συναξάριον.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν Ἁγίων ἐνδόξων Ὁσιομαρτύρων τῶν ἐν τῇ Λαύρᾳ τοῦ Ἀββᾶ Γερασίμου τοῦ Ἰορδανίτου ὑπὸ τῶν Περσῶν ἀναιρεθέντων, ἐν ἔτει χιδ΄(614).

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Οὐκ ἐπόθησαν ἡδέα καὶ τερπνότητα, Ὁσιομάρτυρες, ἀλλὰ τῷ πόθῳ Χριστοῦ μεθέξει

θεούμενοι ἐπολιτεύθησαν, ὥσπερ ἄσαρκοι, διὸ εἰς τὰ οὐράνια ἀφηρπάσθησαν ἐξαίφνης.

Νίκην ᾖρατε κατὰ τοῦ κόσμου ἄρχοντος, καταφρονήσαντες σαρκὸς φθαρτόν εὐκλεεῖς, καὶ εἶς ὄντες πνεύματι ποικίλοις σώμασιν ἀνῃρέθητε καὶ ἀφθαρσίας ἔνδυμα ἐνεδύθητε συμφώνως

Ἐτηρήσατε δεσμὸν τῆς ἀδελφότητος, Ὁσιομάρτυρες, συνασπισμὲ ἀῤῥαγές,καὶ σπάθην ὑπέστητε τῶν μιαιφόνων χειρῶν καὶ ἀντάλλαγμα στεφάνους συνεστέφθητε τῇ χειρὶ τοῦ Ζωοδότου.

Θεοτοκίον.

Ὑπερένδοξε, Παρθένε Παναμώμητε, βροτῶν ἰάτειρα, τῶν χαμαιζήλων παθῶν ψυχήν μου ἰάτρευσον, ἵνα δοξάζω Σε ὁ ἱκέτης Σου, Χριστιανῶν τὸ καύχημα καὶ ἐλπὶς ἀπηλπισμένων.

ᾨδὴ η΄. Παῖδας εὐαγεῖς.

Φέροντες ὀδύνας, Ἰορδάνου λειμῶνος τοῦ μυριπνόου ἄνθη εὔοσμα, νέον ἐνεδύσασθε ἔνδυμα λαμπρότητος, ἀναψυχὴν εὑράμενοι ζωὴν αἰώνιον, γλυκύλαλοι τοῦ ἔαρος σπίγγοι, ὅθεν προσκυνοῦμεν λειψάνων ὑμῶν θήκην.

Ἦραν νίκης σύμβολα Πατέρες σεπτοὶ, κατ' ἐχθροῦ ὀρδὴν τὴν βάρβαρον τοῦ ὑποκινήσαντος, καὶ γὰρ κατεφρόνησαν κόσμου ματαιότητα καὶ ὡς τρυφὴν τοῦ αἵματος ἔκχυσιν βλέποντες συνέσπευδον φρικτῷ μαρτυρίῳ· ὅθεν προσκυνοῦμεν λειψάνων τούτων θήκην.

Μάρτυρες Χριστοῦ σὺν τοῖς Ὁσίοις, ψυχὰς ὑπεδέχθησαν ὑμῶν ἐν εὐφροσύνῃ ψάλλοντες ἑόρτια μελίσματα καὶ ὁμαδὸν συνήδετε εἰς οὐρανίους μονάς· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἔμπλησον, Ἁγνή Παρθενομῆτορ, ψυχήν μου φωτὶ ἐπουρανίῳ Σου, σκότος ἀπελαύνουσα τοῦ δενοῦ ἀλάστορος καὶ φωτοφόρον ὅλον με τῇ μεσιτείᾳ Σου ἀνάδειξον, Ἁγία Παρθένε, ἵνα Σὲ δοξάζω τὴν Κεχαριτωμένην.

ᾨδὴ θ΄. Ἅπας γηγενής.

Εἰ καὶ τὰ ὑμῶν ὀνόματα ἄγνωστα, ἀλλὰ ἐγράφη αὐτὰ βίλβῳ τῆς ἀλήκτου ζωῆς καὶ γὰρ ζωὴν τὴν πρόσκαιρον ὑμεῖς ὠνήσατε, ὑπὲρ ὄντως πολυτίμου μάργαρος, Ἰορδάνου τῆς Λαύρας ἐντρύφημα.

Ἴασιν ψυχῶν, σωμάτων δ᾽ ἀνάῤῥωσιν ὑμεῖς χαρίζετε διὰ τῆς προσψαύσεως σεπτῶν λειψάνων, ἄρρητον ἀποπνεόντων ὀσμὴν, ἐν ἐσχάτοις ἃ ἡμεῖς ἀνεύραμεν προμηθείᾳ ὑμῶν, Ὁσιόαθλοι.

Νῦν ἡ φωταυγὴς καὶ θεία ἐπέλαμψεν μνήμη ὑμῶν, θαυμαστοί, πάντας ἡ συνάγουσα πρὸς ὑμνῳδίαν τοὺς φιλομάρτυρας καὶ φιλοσίους μέλποντας τὰ κατορθώματα, ἄθλους, πόνους καὶ φρικτὴν ἀναίρεσιν, συμμαχία σεπτὴ καὶ φωτόμορφος.

Θεοτοκίον.

Ἵλεος γενοῦ ἐμοὶ τῷ τεκνίῳ Σου, παρακαλῶ Σε θερμῶς, Μῆτερ Ἀειπάρθενε καὶ ἐν τῇ ζάλῃ τοῦ βίου πρόφθασον τὴν τεθλιμμένην δίδαξον ὁδὸν πορεύεσθαι καὶ τὴν κάμψιν τοῦ ἐμοῦ φρονήματος τῇ πολλῇ Σου ἀγάπῃ ἀνόρθωσον.

Ἐξαποστειλάριον. Τὸν οὐρανὸν τοῖς ἄστροις.

Τοῦ Παρακλήτου τὴν δρόσον ἐνσταλαχθεῖσαν καρδίαις τῆς ἁμαρτίας τὴν φλόγα κατεμαράνατε πάντες καὶ μαρτυρίῳ πρὸς πόλου συμμετετέθητε δόξαν.

Θεοτοκίον.

Τὴν τῶν Μαρτύρων ἐλπίδα καὶ τῶν Ὁσίων καλλονὴν, τῶν Μοναστῶν τὴν προστάτιν καὶ τῶν μιγάδων ἀρωγὸν, Θεοῦ Μητέρα Ἁγίαν ἀνευφημήσωμεν πάντες.

Εἰς τοὺς Αἴνους. Ψάλλομεν Στιχηρὰ Προσόμοια γ', δευτεροῦντες τὸ α'. Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Ὑπερφερεῖς οἱ ἀγῶνες ὑμῶν, πολύαθλοι· πυγμῶν γὰρ καὶ ῥοπάλων καὶ τοῦ ξίφους γευθέντες, βιαίου τε θανάτου, ὡς λογικὰ ἱερεῖα προσήχθητε, τῇ Παναγίᾳ Τριάδι, Ἥν ἐκτενῶς δυσωπεῖτε ὑπὲρ πάντων ἡμῶν.

Ἐπισταζόμενοι αἵμασιν, Ὁσιόαθλοι, καὶ ἀπηνεῖ μανίᾳ τῶν βαρβάρων κοπέντες ἀνήλθετε πρὸς πόλον

ἀμελλητί, θεοσύλλεκτε ὅμιλε, καὶ συχορεύτε ἄρτι περιφανῶς σὺν Ἀγγέλοις τε καὶ Μάρτυσιν.

Τοῦ Ἰορδάνου ἡ Λαύρα νῦν ἡ παλαίφατος, πανηγυρίζει μνήμην τὴν ὑμῶν, ἀθλοφόροι, καὶ λάρνακα λειψάνων ὑμῶν πλουτεῖ, ᾗ προσπίπτει κραυγάζουσα· ἐπιδρομῶν ἀλλοτρίων καὶ συμφορῶν ἐκλυτρώσατε, πανεύφημοι.

Δόξα. Ἦχος πλ. α΄.

Τῆς ἐν πόλῳ πατρίδος τῷ πόθῳ κατατρωθέντες ταῖς ψυχαῖς, ἐκ χωρῶν διαφόρων συνήχθητε Γερασίμου τοῦ Ὁσίου τῇ Λαύρᾳ· καὶ ὡς δίκαιοι Πατέρες τῇ φροντίδι ὑμῶν Ὑψίστῳ ἀνέθετε· ὅθεν καὶ βασίλειον τῆς εὐπρεπείας ἐλάβατε, ὑποστάντες στεῤῥῶς Περσικὴν ἰταμότητα μεληδὸν συγκοπτόμενοι, τεμνόμενοι κάρας, πικρὰς βασάνους φέροντες, ἀπηνῶς θανατούμενοι· διὸ καὶ ἡμεῖς συμφώνως γεραίροντες ὑμῶν τοὺς θείους ἄθλους, αἰτούμεθα ἱλασμὸν ταῖς πρὸς Χριστὸν πρεσβείαις ὑμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν Σε…

Μεγαλυνάριον.

Χαίροις τῶν Πατέρων θεῖος χορός, οἱ αἱμάτων ῥεύσει Γερασίμου σεπτὴν Μονὴν ἐν τῷ Ἰορδάνῃ πληρώσαντες καὶ ἄρτι πλουτεῖτε τοῖς λειψάνοις ὑμῶν, μακάριοι.

